πίτηδες δ' ὁ ποιητὴς ταύτην τὴν λέξιν ἔθηκεν. Ἀποστερεῖν δ' ἔνι.] πρὸς ὁμοιοκατάληκτον. καὶ πρὸς τὸ αὐτοῦ ὁ γέρων βούλευμα. τοῦτο γὰρ αὐτῷ σπουδάζεται τὸ ἀποστερεῖν τοὺς δανειστάς. Ἀμέλει] παρέλκει, ἀττικὴ δὲ ἡ φράσις. ἀν- A τὶ τοῦ μὴ ἀθύμει. Ὑφαρπάσει.] ἀττικοῦ δευτέρου προσώπου, ἀντὶ τοῦ ὑφαρπάσῃ. ἔπαιξε δὲ διὰ τοῦ ὑφαρπάσαι αἰνιττόμενος τὴν κυνικὴν φιλοσοφίαν. ἴσως δὲ κἀκεῖνος ἐκ τῶν κυνικῶν φιλοσόφων ἔλαβε τὸ κυνηδόν.

Σω. Ἴθι νυν κατάθου θοἰμάτιον. Στ. Ἠδίκηκά τι;
Σω. Οὔκ. ἀλλὰ γυμνοὺς εἰσιέναι νομίζεται.
Στ. Ἀλλ' οὐχὶ φωράσων ἔγωγ' εἰσέρχομαι. B
Σω. Κατάθου. τί ληρεῖς; Στ. Εἰπὲ δή νυν μοι τοδί.
Ἢν ἐπιμελὴς ὦ καὶ προθύμως μανθάνω,
Τῷ τῶν μαθητῶν ἐμφερὴς γενήσομαι;
Σω. Οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.
Στ. Οἴμοι κακοδαίμων, ἡμιθνὴς γενήσομαι;
Σω. Οὐ μὴ λαλήσεις. ἀλλ' ἀκολουθήσεις ἐμοί, C
Ἀνύσας τί, δευρὶ θᾶττον. Στ. Ἐς τὼ χεῖρέ νυν
Δός μοι μελιτοῦτταν πρότερον. ὡς δέδοικ' ἐγώ,
Εἴσω καταβαίνων ὥσπερ ἐς Τροφωνίου.
Σω. Χώρει. τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

*SO. Agè nunc, vestem depone. ST. Quid feci mali?*
*SO. Nihil: sed nudos ingredi leges iubent.*
*ST. Atqui ego non ingredior, vt hinc auferam aliquid.*
*SO. Depone, quid nugaris? ST. Dic hoc iam mihi,*
*Si diligens fuero, atque cupidè didicero:*
*Cuinam similis ex discipulis tuis ero?*
*SO. Nihil ab ingenio Chærephontis differes.*
*ST. Væ mihi misero: nam fiam semimortuus.*
*SO. Non fies, ne dixis: sed sequere me ocyus,*
*Vt perficias aliquid, propera. ST. In manum prius*
*Des mellitam placentam. Vah, vt mihi metuo,*
*Intrans, non secus ac si antrum adeam Trophonij.*
*SO. Perge, quid hîc ita circumspectas iuxta ostium?*

D

Σχόλια. Ἴθι νυν κατάθου.] ὅπερ ἐποίουν ἐπὶ τῶν μυουμένων τὰ μυστήρια. ἀποδύσαι δὲ αὐτὸν βούλεται τὴν ἐσθῆτα. ὡς μέλλων δὲ ἐκεῖνος τύπτεσθαι, φησὶν ἠδίκηκά τι; ὁ δὲ τερατευόμενος ὡς ἐπὶ τῶν μυουμένων γυμνὸν εἰσάγει αὐτόν. Ἀλλ' οὐχὶ φωράσων.] ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι, γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μὴ ὑπὸ ἔχθρας λάθωσιν ὑποβαλόντες τὸ ζητούμενον. καὶ ζημίας αἴτιοι τούτῳ γένωνται. οἱ γοῦν μέλλοντες εἰσιέναι ἵνα ἐπιθεάσωνται χρήματα τοῦ δημοσίου, ἢ κατ' ἔρευναν, γυμνοὶ εἰσήεσαν ἵνα μή τι ἀποκρύψωνται. E Ἡμιθνὴς γενήσομαι.] ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν. ἅτε φιλοσοφίᾳ συνεστηκώς, παρὸ ἐκαλεῖτο νυκτερὶς καὶ πύξινος. Μελιτοῦτταν.] μᾶζαν τῷ μέλιτι δεδευμένην. ἔφερον δὲ ὡς ἐδόκουν τοῖς ὄφεσιν. Ὥσπερ ἐς Τροφωνίου.] ὁ Τροφώνιος ἐγένετο λιθοξόος ἄριστος. ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ Λεβαδείᾳ τῆς Βοιωτίας ὑπὸ γῆν ὃ καλεῖται Τροφωνίου. ἐκεῖ οὖν οἱ μυούμενοι καθέζονται ἐπὶ τοῦ στόματος γυμνοί, καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων καὶ φέρονται ὑπὸ τὴν F γῆν. ἐπειδὴ δὲ ἀπαντῶσι δαίμονες καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετά, βαστάζουσι πλακοῦντά τινα καὶ ῥίπτουσιν ἐπὶ τὸ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν, δι' ἄλλου στόματος ἀναρριπτοῦνται. ἄλλως. οὕτως ὁ Χάραξ. Ἀγαμήδης ἄρχων Στυμφήλου τῆς Ἀρκαδίας ἐγάμει Ἐπικάστην. ἧς παῖς ἦν Τροφώνιος σκότιος. οὗτοι τοὺς τότε ὑπερέβαλλον πάντας εὐτεχνίᾳ τόν τε ἐν Δελφοῖς Ἀπόλλωνος ναὸν ἐργολαβήσαντες. ἐν Ἤλιδι δὲ ταμιεῖον χρυσοῦν κατεσκεύασαν Αὐγείᾳ. ᾧ καταλείψαντες ἁρμὸν λίθου, νύκτας εἰσιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα Κερκυόνι, ὃς ἦν γνήσιος Ἀγα- G μήδους καὶ Ἐπικάστης υἱός. ὡς δὲ ἠπόρει λίαν Αὐγείας, ἐπιδημήσαντα Δαίδαλον ἔκτοσε κατὰ φυγὴν Μίνωος, ἐλιτάνευσεν ἐξιχνεῦσαι τὸν φῶρα. ὁ δὲ παγίδας ἔστησεν. αἷς περιπεσὼν Ἀγαμήδης ἀναιρεῖται. Τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ τεμὼν πρὸς τὸ μὴ γνωσθῆναι, ἅμα Κερκυόνι φεύγει εἰς τὸν Ὀρχομενόν. Αὐγείου δὲ κατὰ κέλευσιν Δαιδάλου ὑπὲρ τὴν τῶν αἱμάτων ἔκλυσιν ἐπιδιώκοντος, καταφεύγουσιν ὁ μὲν Κερκύων εἰς Ἀθήνας ὡς Καλλίμαχος. Ὃς ῥ' ἔφυγεν μὲν Ἀρκαδίην, ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων. ὁ δὲ ἕτερος εἰς Λεβάδειαν τῶν Βοιωτῶν, οὗ κατωρυχὴν ποιησάμενος οἴκησιν, διετέλει. τελευτήσαντι δὲ αὐτῷ μαντεῖον ἀτρεκὲς ἐφάνη αὐτόσε. καὶ θύουσιν αὐτῷ ὡς θεῷ. περιελίπετο δὲ υἱὸν Ἄλκανδρον. ἄλλως. Ἐν μὲν τοῖς παλαιοῖς ἀντιγράφοις οὕτως εὗρον. πρῶτον μὲν ὅτι οἱ περὶ Ἀγαμήδην υἱὸν Ἀπόλλωνος καὶ Ἐπικάστης. οἱ δὲ Διὸς καὶ Ἰοκάστης. οἱ δὲ Ἐργίνου. εἶτα ὡς Δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ κεκλοφότες ἑάλωσαν. καὶ τῷ ἑτέρῳ φεύγοντι διέσχεν ἡ γῆ, καὶ ἐδέξατο περὶ Λεβάδειαν. ὕστερον δὲ Βοιωτοῖς λιμώττουσιν ἔχρησεν ὁ θεὸς Τροφώνιον τιμᾶν. οἱ δὲ ἀγνοοῦντες ὅπη εἴη τὸ μνῆμα, σμήνει μελισσῶν προσέτυχον ἐξ ὑπορρῶγός τινος ἀνιουσῶν. καὶ στοχασάμενοι τοῦτον εἶναι τὸν τόπον ἔπεμψαν ἐκεῖσε δεῖν τινα κατελθεῖν θεασόμενον. ὃς εὑρὼν δύο δράκοντας, προσήγαγε μελιτούττας καὶ οὐκ ἠδικήθη. ἐξ οὗ τὸ ἔθος ἐγένετο οἱ δὲ βουλόμενοι χρηστηριασθῆναι, ἁγνεύοντες ὡρισμένως καὶ στολῇ κεκοσμημένοι θεοπρεπεῖ, κατίασι λόγχας ἔχοντες πρὸς τὸ βάλλειν τοὺς ὄφεις καὶ μὴ ἀδικηθῆναι ὑπ' αὐτῶν. καὶ πολλοὶ μὲν αὐθημερὸν ἐπέμφθησαν, οἱ δὲ διὰ πλειόνων. ἐν δὲ τοῖς νεωτέροις, οὕτως. Ὁ Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας οὖν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα εἰσελθὼν ἐμαντεύετο. καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικήσαν δὲ δαιμόνιόν τι τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρησόμενοι ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε λοιπὸν οὐκ ἔτι ἐγέλα διὰ τὴν τῶν ὄφεων ἔκπληξιν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων καὶ συνωφρυωμένων, ἐς Τροφωνίου μεμάντευται. Τί κυπτάζεις ἔχων.] ἀττικῶς περιττεύει τὸ ἔχων. τὸ δὲ κυπτάζεις, στραγγεύῃ. διατρίβεις. Περὶ τὴν θύραν.] βαρέως διακείμενος εἰς τὸ εἰσιέναι δι' αὐτῆς.